καὶ ἀποσκορακιεῖ αὐτὸν καὶ πόρρω αὐτὸν διώξεται ὡς χνοῦν ἀχύ-
ρου λικμώντων ἀπέναντι ἀνέμου καὶ ὡς κονιορτὸν τροχοῦ καται-
γὶς φέρουσα. [14]πρὸς ἑσπέραν ἔσται πένθος, πρὶν ἢ πρωὶ καὶ οὐκ 14
ἔσται. αὕτη ἡ μερὶς τῶν ὑμᾶς προνομευσάντων καὶ κληρονομία
τοῖς ὑμᾶς κληρονομήσασιν.
[1]Οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας, [2]ὁ ἀπο- 18
στέλλων ἐν θαλάσσῃ ὅμηρα καὶ ἐπιστολὰς βυβλίνας ἐπάνω τοῦ
ὕδατος· πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον καὶ
ξένον λαὸν καὶ χαλεπόν, τίς αὐτοῦ ἐπέκεινα; ἔθνος ἀνέλπιστον
καὶ καταπεπατημένον. νῦν οἱ ποταμοὶ τῆς γῆς [3]πάντες ὡς χώρα 3
κατοικουμένη· κατοικηθήσεται ἡ χώρα αὐτῶν ὡσεὶ σημεῖον ἀπὸ
ὄρους ἀρθῇ, ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσται. [4]ὅτι οὕτως εἶπέν 4
μοι κύριος Ἀσφάλεια ἔσται ἐν τῇ ἐμῇ πόλει ὡς φῶς καύματος με-
σημβρίας, καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμήτου ἔσται. [5]πρὸ τοῦ 5
θερισμοῦ, ὅταν συντελεσθῇ ἄνθος καὶ ὄμφαξ ἀνθήσῃ ἄνθος ὀμφα-
κίζουσα, καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις καὶ τὰς
κληματίδας ἀφελεῖ καὶ κατακόψει [6]καὶ καταλείψει ἅμα τοῖς πετεινοῖς 6
τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ συναχθήσεται ἐπ' αὐτοὺς
τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ' αὐτὸν
ἥξει. [7]ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα κυρίῳ σαβαωθ ἐκ 7
λαοῦ τεθλιμμένου καὶ τετιλμένου καὶ ἀπὸ λαοῦ μεγάλου ἀπὸ τοῦ
νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον· ἔθνος ἐλπίζον καὶ καταπεπατημένον,
ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ, εἰς τὸν τόπον, οὗ τὸ
ὄνομα κυρίου σαβαωθ ἐπεκλήθη, ὄρος Σιων.
[1]Ὅρασις Αἰγύπτου. 19
Ἰδοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης καὶ ἥξει εἰς Αἴγυπτον,
καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ
ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. [2]καὶ ἐπεγερθήσονται Αἰ- 2
γύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐ-
τοῦ καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν καὶ νομὸς
ἐπὶ νομόν. [3]καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν αὐτοῖς, 3
καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ ἐπερωτήσουσιν τοὺς θεοὺς

13 χνουν] χνους S*, χουν A*L*p*C*p || 14 εσται 1°] pr. και B† = 𝔐 | τοις .. κληρονομησασιν(S*† -σουσιν)] των .. -σαντων A*L*

18 2 βυβλινας B*LC*p] βιβλ. SAQ*C*p: cf. Thack. § 6, 43 | τις] τι A† || 3 ωσει] ως εις B**C* | αρθη] αρθησεται S 393† | εσται > *C*† || 4 οτι] διοτι B*LC* | ειπεν μοι κυριος] ειπ. κυρ. μοι *C*† = 𝔐, μοι ειπ. κυρ. B || 5 ανθηση A*L*p] -σει BSQ*L*p*C* | ανθος ομφακιζουσα] pr. το Sc†: ex *L* το ανθος ομφακιζον praebente | κατακοψει] αποκ. B*LC* || 7 τετιλμ.] + και ταπ(ε)ινου S† | ποταμου] pr. του A | επεκληθη S] επικεκληται *L*, > BAQ*C* = 𝔐

19 1 αι καρδιαι αυτων ηττηθησονται A || 2 πολις] pr. επεγερθησεται A, pr. πολεμησ(ε)ι και (sic) S*† (Sc επεγερθησεται pro πολεμ.), pr. και επεγερθησονται Bc

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/593 UNIVERSITÄT LEIPZIG